eul_wid: tyc-ck

*Ζώσιμος ὁ Πανοπολίτης* · Zosimus of Panopolis

## On Weights

*Περὶ σταθμῶν*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Ἐπιστήμη* Science
**Format:** *Πραγματεία* Treatise

2.178 ΠΕΡΙ ΣΤΑΘΜΩΝ Ὁ περὶ σταθμῶν λόγος τὸ πᾶν τῆς ἑψήσεως φαίνεται συνέχων μυστήριον· αὐτὸ γὰρ σύνθεσις, αὐτὸ σταθμὸς, αὐτὸ λεύκωσις, αὐτὸ ξάνθωσις. Ἠρέμα δέ πως ἐν τῷ περὶ συνθέσεως λόγῳ, ταῦτα πάλιν περὶ χαλκοῦ καὶ ἰώσεως. Φαίνεται δὲ καὶ αὐτὸς τοιοῦτον μόλυβδον λαμβάνων, ἀφ' οὗ καὶ αὐτός· Σκόρπισον μολύβδῳ· οὐχ .

2.179 ἁπλῶς ἔλεγεν, ἀλλὰ τὸ ἀπὸ κοπτικοῦ καὶ λιθαργύρου μέλανι τῷ ἡμῶν. Ἡ δὲ σκόρπισις ἐμοὶ λείωσις φαίνεται, ὡς ἀποδείξω ἐκ πασῶν τῶν γραφῶν ἐν τῇ ἐμῇ κατενεργείᾳ περὶ τοῦ σταθμοῦ. Εἰώθασιν γὰρ δι' ὧν καίουσιν ἢ σκορπίζουσιν ἢ ἐπιβάλλουσιν, διὰ τούτων συστα θμίζειν κεκρυμμένως· σταθμίζουσι τὸν μόλυβδον· ὃς καὶ διὰ τῆς διασκορπίσεως, καὶ συσταθμίζεται λεύκωσις καὶ ἴωσις διὰ τῆς ἐπιβολῆς. «Ἐπίβαλλε γὰρ τοῦ λευκοῦ φαρμάκου τὸ ἥμισυ», καὶ τὰ ἑξῆς. Πάντα οὖν ἐν πᾶσι κέκρυπται τῇ τέχνῃ ἀπὸ συσταθμίσεως καὶ ἰώσεως, ὁμοῦ πάντα· ἐπειδὴ ἐκ τῆς προϊζανούσης θείου τῇ φιάλῃ, οὐχ ὁρᾶται τὸ ὑποκείμενον σύνθεμα πότε λευκανθῇ ἐξ αὐτῆς θείου γινώσκουσιν. Ὅταν γὰρ λευκὴ γένηται, τὸ τηνικαῦτα γινώσκεται καὶ τὸ ὑποκείμενον λευκανθέν. Ἔνθεν ὁ Ἀγαθοδαίμων καθ' ἑκάστην λαμβάνειν θεῖον ἔλεγεν, ἢ λευκὴν ἢ οἵαν δήποτε. Ἐκείνη γὰρ ἡ μηνύουσα τὴν ὄπτησιν, ἣν ἁρπάζουσι καὶ κατακαίουσιν εἰς τὸ λεί ψανον τοῦ θείου, καὶ ἐκκρίνουσιν μᾶλλον ἢ ἐξίουσιν· λευκανθὲν γὰρ ἁρπάζουσιν. Ἐὰν γὰρ ἐάσωσιν, ἐπὶ τὸ ξανθὸν τρέπεται. Διὸ τοίνυν καὶ τοῦ θείου τοῦ λευκαίνοντος, τὸ πᾶν τοῦ σταθμοῦ παρὰ τῶν φιλοσόφων ζητήσωμεν. Ἔχει οὖν ἐν τῇ ὑστέρᾳ τῶν ζωμῶν ἀρσενίκου ℔ α', καὶ νίτρου ἥμισυ, καὶ φλοιῶν φύλλων περσέας ἁπαλῶν ℔ β', καὶ ἅλας ἥμισυ, καὶ συκαμίνου χυλοῦ ℔ α', καὶ στυπτηρίας σχιστῆς· τούτοις συλλειώσας ὅλα ὁμοῦ ἐν ὄξει ἢ οὔρῳ, ἢ ἀσβέστου στάκτῃ, ἕως γένηται ζωμός. Εἶτα ἐν σκιᾷ [πυρὸς] καταβάπτει πέταλα .

2.179 καὶ ἀποσκιώσεις ποιεῖ. Δεῖ οὖν τὰ λείποντα πάντα βάλλειν, πρό γε πάντων, ἀσβέστου μέρη β' πρὸς θείου καὶ ἀρσενίκου, καὶ σανδαράχης μέρος α', καὶ τὰ ὕδατα· καὶ ποιήσαντες ὕδωρ λευκὸν μαρμάρῳ παρεμ φερὲς, ἐν αὐτῷ ποτίζειν ἢ ἑψεῖν τρούλλῳ τὸ προειρημένον σύνθεμα.